3. τὰ δὲ ὡς στέρησις καὶ ἕξις· λέγεται δὲ ἑκάτερον τούτων, ὅτε τὸ δεκτικὸν ~~ὑποκείμενον~~ ἔχῃ ἢ μὴ ἔχῃ, ὃ ἐνυπάρχειν αὐτῷ πέφυκε· ἂν μὲν ἔχῃ, ἕξις· ἂν δὲ μή, στέρησις· οἷον ὄψις καὶ τυφλότης ἐν τῷ ὀφθαλμῷ.

4. τὰ δὲ ὡς κατάφασις καὶ ἀπόφασις· ὅταν δύο προτάσεις ἐναντίαι ἀντίκειται ἀλλήλαις· οἷον Σωκράτης νοσεῖ· Σωκράτης οὐ νοσεῖ· ἐπὶ μόνων δὲ τούτων ἴδιόν ἐστι τὸ ἀεὶ θάτερον αὐτῶν ἀληθὲς ἢ ψευδὲς εἶναι, ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται.

2. περὶ προτέρου· ὅτι λέγεται κατὰ τρεῖς μάλιστα τρόπους·

1. κατὰ χρόνον οἷον ὁ Ὅμηρος τοῦ Πινδάρου πρότερος.
2. κατὰ τάξιν φυσικήν· οἷον τὸ αἴτιον πρότερον τοῦ αἰτιατοῦ.
3. κατὰ τὴν ἀξίαν· οἷον ὁ βασιλεὺς πρότερος τοῦ ἡγεμόνος.

3. περὶ τοῦ ἅμα· ὅτι τριχῶς μάλιστα λέγεται.

1. τῷ χρόνῳ· ὧν ἡ γένεσις τῷ αὐτῷ χρόνῳ· οἷον τὸ ὅλον καὶ τὰ ἀναγκαῖα μέρη.
2. φύσει· ὡς τὰ πρός τι· ἅμα γὰρ ἐστι δοῦλος καὶ ὁ δεσπότης.
3. φύσει ἅμα ἐστὶ καὶ τὰ ἐκ τοῦ αὐτοῦ γένους εἴδη ἀλλήλοις ἀντιδιῃρημένα· οἷον, τὸ πτηνὸν καὶ πεζόν, ὧν γένος τὸ ζῷον.

4. περὶ κινήσεως· ἧς

1. εἴδη ἕξ· γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, καὶ ἡ κατὰ τόπον μεταβολή· περὶ τούτων ἡ φυσική.
2. ἐναντίον, ἡ ἠρεμία.

5. περὶ τοῦ ἔχειν· ὅτι πολλαχῶς λέγεται· κατὰ πάσας γὰρ τὰς κατηγορίας ἔχειν λέγομεν. χρὴ δὲ τὰς διαφόρους σημασίας ἐκ τῶν λεξικῶν μανθάνειν.

http://digital.slub-dresden.de/ppn347224571/18